UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Palladio Diacono. 239.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Παμπρεπίῳ διακόνῳ. σλη.

Ἐπειδὴ τὸ μὲν λόγοις φιλοσοφεῖν ῥάδιον, τὸ δὲ ἔργοις δύσκολον· καὶ τὸ μὲν τὰς ἀκοὰς τέρπει, τὸ δὲ τὰς ψυχὰς παιδεύει· διὰ τοῦτο ὁ θεὸς, τοῖς τὴν τῆς ἱερωσύνης λειτουργίαν ἐστεμμένοις βοᾷ τοῦθ᾽ ὅπερ μαθεῖν ἠθέλησας· Ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ· ἐπειδὴ γὰρ οἱ διὰ λόγων φιλοσοφοῦντες οὐ μόνον ἐνοχλοῦσι τοὺς ἀκούοντας, ἀλλὰ καὶ δι᾽ ὧν τὰ ἐναντία οἷς λέγουσι πράττουσι, κωμῳδεῖσθαι ἑαυτοὺς παρασκευάζουσι. διὰ τοῦτο τὴν τῶν ἔργων ἀρετὴν τούτους ἀπαιτεῖ, τὴν τῆς ψυχῆς τῶν ἀκροατῶν ἀπτομένην. ὥστε ἱερὸν εἶναι χρὴ τὸν ἱερώμενον. ἱερᾶσθαι γὰρ τὶν ἀνίερον, οὐ θέμις.

*Pamprepio Diacono.* 238.

Quandoquidem ſermonibus philoſophari facile eſt, operibus autem arduum, atque illud quidẽ aures oblectat, hoc autẽ animos erudit, ob eã cauſam Deus ad eos qui ſacerdotij munere redimiti ſunt, id, quod tibi explanari cupis, clamat, Sacerdotes loquimini ad cor Hieruſalẽ. Quoniam enim qui verbis duntaxat docent, nõ modò moleſtiam auditoribus exhibẽt, ſed etiam irridendos ac ſugillandos ſe propinant, idcirco actionum virtutem, quæ ad auditorum animos penetret, ab ipſis requirit. Quamobrem ſacroſanctum eſſe oportet eum qui conſecratus eſt. Neque enim prophanum ſacris operari fas eſt.

Παλλαδίῳ διακόνῳ. σλθ.

Ἀνάκτησαι σαυτοῦ, ὦ βέλτιστε, τὴν ὑπόληψιν, οὐ νοσήσασαν καὶ διαφθαρεῖσαν, καὶ εἰς τὸ μὴ ὂν χαρήσασαν· ἧττον γὰρ ἂν ἦν ἴσως κακόν· ἀλλ᾽ εἰς κακοδοξίαν τραπεῖσαν.

*Palladio Diacono.* 239.

Exiſtimationem tuam, vir optime, cura vt recuperes, non illam quidem morbo affectam & corruptam, atque in nihilum redactam (leuius enim ad malum fortaſſis eſſet) verũ in errorẽ & hæreſim cõuerſam.

Λαμπετίῳ ἐπισκόπῳ. σμ.

Οἶδα μὲν, ὦ ἁγνείας ἀνάκτορον, ὅτι εἰκότως δυχεραίνεις, Ζωσίμου τε καὶ Μαρτινιανοῦ, Μάρωνός τε καὶ Εὐσταθίου, ἱερᾶσθαι δοκούντων, ἀνθρώπων πάσῃ μὲν ἀρετῇ ἀπροσίτων τε καὶ ἀβάτων, πάσῃ δὲ κακίᾳ ἱππήλατον ἑαυτοὺς κατασκευασάντων ὁδόν τε καὶ χῶρον. ἀλλ᾽ εὖ εἰδέναι ὀφείλεις, ὅτι ὅσῳ μείζονος ἠξιώθησαν τιμῆς, τοσούτῳ καὶ μείζονα δώσουσι δίκην, ὅτι μηδὲ τῇ εὐεργεσίᾳ βελτίους ἐγένοντο.

*Lampetio Epiſcopo.* 240.

Non quidem me fugit, ô caſtitatis delubrum, meritò te hoc nomine diſcruciari, quòd Zoſimus & Martinianus, Maróque item & Euſtathius, qui Sacerdotum ſpeciem præferunt, ſeipſos omni virtuti inacceſſam & inuiam, omni autem vitio planam ac facilem viam ſedémque reddiderint. Verùm illud tibi exploratum eſſe debet, quòd quo maiores honores conſecuti ſunt, eo quoque grauioribus ſuppliciis afficientur, vt qui ne beneficio quidem meliores effecti ſint.

Τῷ αὐτῷ. σμα.

Αὐτὸς μὲν ἴσως πολλῶν λόγων τε καὶ καὶ νοημάτων ἔχειν με νομίζεις παρασκευὴν, ἐγὼ δὲ οἶδα σαφῶς, ὅτι οὐδὲν

*Eidem.* 241.

Tu quidem fortaſſe me multorum ſermonum ac ſenſorum apparatum habere arbitraris. At ego illud probè ſcio, me nihil